UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

Parisiis, 1644

X. Quod non oporteat clericum relinquere parochiam suam, & ad aliam transire absque notitia episcopi.

urn:nbn:de:hbz:466:1-15473

Visual Library

IX.

De non abſcondendo libro quolibet hæreſeos Chriſtianos accuſantium.

Omnia puerilia ludibria, inſanaſque debacchationes atque conſcripta, quæ falſo contra venerabiles imagines facta ſunt, dari oportet in epiſcopio Conſtantinopoleos, vt recondantur cum ceterorum hæreticorum libris. Si vero quis inuentus fuerit hæc occultare, ſiquidem epiſcopus aut preſbyter vel diaconus fuerit, deponatur: ſi vero monachus aut laicus, anathematizetur.

θʹ.

Περὶ τοῦ μὴ κρύπτειν τινὰ χριστιανοκατηγορικῆς αἱρέσεως βίβλον.

Πάντα τὰ μειρακιώδη ἀθύρματα καὶ μανιώδη βακχεύματα, τὰ ψευδοσυγγράμματα κατὰ τῶν σεπτῶν εἰκόνων γενόμενα, δέον ἐπιδοῦναι ἐν τῷ ἐπισκοπείῳ Κωνσταντινουπόλεως, ἵνα ἀποτεθῶσι μετὰ τῶν λοιπῶν αἱρετικῶν βίβλων. εἰ δέ τις εὑρεθείη ταῦτα κρύπτων, εἰ μὲν ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος εἴη, καθαιρείσθω· εἰ δὲ μοναχὸς ἢ λαϊκός, ἀναθεματιζέσθω.

X.

Quod non oporteat clericum relinquere parochiam ſuam, & ad aliam tranſire abſque notitia epiſcopi.

Quoniam quidam clericorum paruipendentes canonicam conſtitutionem, relinquunt parochiam propriam, & ad alias parochias conuolant, & maxime in hac Deo ſeruanda regia vrbe ſeſe apud principes locant, in eorum oratoriis Miſſas facientes: hos abſque proprio epiſcopo & Conſtantinopolitano antiſtite non licet ſuſcipere in qualibet domo vel eccleſia: quod ſi hoc fecerit, & ita perſeuerauerit, deponatur. Quotquot autem cum conſcientia prædictorum hoc fecerint ſacerdotum, non licet eis mundanas & ſæculares curas ſuſcipere, præſertim cum hoc agere prohibeantur a ſacris Canonibus. Quiſquis autem apparuerit eorum, qui dicuntur maiores, curam tenere, aut deſinat, aut

ιʹ.

Ὅτι οὐ δεῖ κληρικὸν ἀπολιπεῖν τὴν ἑαυτοῦ παροικίαν, καὶ ἐν ἑτέρᾳ ἀφικέσθαι χωρὶς εἰδήσεως τοῦ ἐπισκόπου.

Ἐπειδή τινες τῶν κληρικῶν παραλογιζόμενοι τὴν κανονικὴν διάταξιν, ἀπολιπόντες τὴν ἑαυτῶν παροικίαν, εἰς ἑτέρας παροικίας ἐκτρέχουσι, κατὰ πλεῖστον δὲ ἐν ταύτῃ τῇ θεοφυλάκτῳ καὶ βασιλίδι πόλει, καὶ εἰς ἄρχοντας προσεδρεύουσιν, ἐν τοῖς αὐτῶν εὐκτηρίοις τὰς λειτουργίας ποιοῦντες· τούτους οὖν χωρὶς τοῦ ἰδίου ἐπισκόπου καὶ τοῦ Κωνσταντινουπόλεως οὐκ ἔξεστι δέχεσθαι ἐν οἱῳδήποτε οἴκῳ ἢ ἐκκλησίᾳ· εἰ δὲ τοῦτο ποιήσει, ἐπιμένων καθαιρείσθω. ὅσοι δὲ μετ᾽ εἰδήσεως τῶν προλεχθέντων ἱερέων τοῦτο ποιοῦσιν, οὐκ ἔξεστιν αὐτοῖς κοσμικὰς καὶ βιωτικὰς φροντίδας ἀναλαμβάνεσθαι, ὡς κεκώλυται τοῦτο ποιεῖν παρὰ τῶν θείων κανόνων. εἰ δέ τις φωραθείη τῶν λεγομένων μειζοτέρων φροντίδα ἐπέχων, ἢ παυσάσθω, ἢ

ANNO CHRISTI 787.

καθαιρείσθω· μᾶλλον μὲν οὖν ἤτω πρὸς διδασκαλίαν τῶν παίδων καὶ τῶν οἰκετῶν, ἐπαναγινώσκων αὐτοῖς τὰς θείας γραφάς· εἰς τοῦτο γὰρ καὶ τὴν ἱερωσύνην ἐκληρώσατο.

ια'.

Ὅτι δεῖ οἰκονόμους εἶναι ἐν τοῖς ἐπισκοπείοις καὶ ἐν τοῖς μοναστηρίοις.

Ὑπόχρεῳ ὄντες πάντας τοὺς θείους κανόνας φυλάττειν, καὶ τὸν λέγοντα, οἰκονόμους εἶναι ἐν ἑκάστῃ ἐκκλησίᾳ, παντὶ τρόπῳ ἀπαράτρεπτον διατηρεῖν ὀφείλομεν. καὶ εἰ μὲν ἕκαστος μητροπολίτης ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ καθιστᾷ οἰκονόμον, καλῶς ἂν ἔχοι· εἰ δὲ μήγε, ἐξ αὐθεντίας ἰδίας τῷ Κωνσταντινουπόλεως ἐπισκόπῳ ἄδειά ἐστι προχειρίζεσθαι οἰκονόμον ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ. ὡσαύτως καὶ τοῖς μητροπολίταις, εἰ οἱ ὑπ' αὐτοὺς ἐπίσκοποι οὐ προαιροῦνται οἰκονόμους ἐγκαταστῆσαι ἐν ταῖς ἑαυτῶν ἐκκλησίαις. τὸ αὐτὸ δὲ φυλάττεσθαι καὶ ἐπὶ τῶν μοναστηρίων.

ιβ'.

Ὅτι οὐ δεῖ ἐκποιεῖσθαι ἐπίσκοπον ἢ ἡγούμενον ἐκ τῶν προαστείων τῆς ἐκκλησίας.

Εἴ τις ἐπίσκοπος εὑρεθείη ἢ ἡγούμενος ἐκ τῶν αὐτουργιῶν τοῦ ἐπισκοπείου ἢ τοῦ μοναστηρίου ἐκποιούμενος εἰς ἀρχοντικὴν χεῖρα, ἢ καὶ ἑτέρῳ προσώπῳ ἐκδιδούς, ἄκυρον εἶναι τὴν ἔκδοσιν κατὰ τὸν κανόνα τῶν ἁγίων ἀποστόλων τὸν λέγοντα· πάντων τῶν ἐκκλησιαστικῶν πραγμάτων ὁ ἐπίσκοπος ἐχέτω τὴν φροντίδα, καὶ διοικείτω

deponatur: potius autem maneat ad magiſterium tam puerorum, quam famulorum, relegens eis diuinas ſcripturas: ad hoc enim etiam ſacerdotium conſecutus eſt.

XI.

Quod oporteat œconomos eſſe in epiſcopiis ac monaſteriis.

Cum ſimus debitores omnes ſacras literas cuſtodire, & eam quæ dicit, in vnaquaque eccleſia œconomos eſſe, modis omnibus inuiolabilem conſeruare debemus. Et ſi quidem vnuſquiſque metropolitanus in ſua eccleſia conſtituerit œconomum, bene vtique: ſin autem, ex auctoritate * propria Conſtantinopoleos epiſcopo licentia eſt præponendi œconomum in eius eccleſia: ſimiliter & metropolitanis, ſi epiſcopi qui ſub ipſis ſunt, non ſategerint œconomos ſtatuere in ſuis eccleſiis. Idipſum autem ſeruandum eſt etiam in monaſteriis.

Can. 26. Concil. Calched.

* Gr. ſpeciali

XII.

*Quod non oporteat epiſcopum vel abbatem alienare quid de * proaſtiis eccleſiæ.*

* i. ſuburbanis

Quiſquis epiſcopus inuentus fuerit vel abbas de * ſalariis epiſcopii ſiue monaſterii transferre quidquam in principum manus, vel etiam alii perſonæ conferre, * irritum ſit quod datum eſſe conſtiterit, ſecundum † Canonem ſanctorum apoſtolorum qui dicit: Omnium eccleſiaſticarum rerum epiſcopus ſolicitudinem habeat, & diſpenſet

* agris, ſeu fundis

* Gr. irrita ſit alienatio ſecundum

† Can. 39.